𝔊 ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ ἑνὸς τοῦ ἄλλου τοῦ προσφυέντος, καὶ
ἐξέπεσαν δι᾽ αὐτοῦ τρία, καὶ τὸ κέρας ἐκεῖνο εἶχεν ὀφθαλμοὺς
καὶ στόμα λαλοῦν μεγάλα, καὶ ἡ πρόσοψις αὐτοῦ ὑπερέφερε τὰ
ἄλλα. [21] καὶ κατενόουν τὸ κέρας ἐκεῖνο πόλεμον συνιστάμενον πρὸς 21
τοὺς ἁγίους καὶ τροπούμενον αὐτοὺς [22] ἕως τοῦ ἐλθεῖν τὸν παλαιὸν 22
ἡμερῶν, καὶ τὴν κρίσιν ἔδωκε τοῖς ἁγίοις τοῦ ὑψίστου, καὶ ὁ και-
ρὸς ἐδόθη καὶ τὸ βασίλειον κατέσχον οἱ ἅγιοι. [23] καὶ ἐρρέθη μοι 23
περὶ τοῦ θηρίου τοῦ τετάρτου, ὅτι βασιλεία τετάρτη ἔσται ἐπὶ τῆς
γῆς, ἥτις διοίσει παρὰ πᾶσαν τὴν γῆν καὶ ἀναστατώσει αὐτὴν καὶ
καταλεανεῖ αὐτήν. [24] καὶ τὰ δέκα κέρατα τῆς βασιλείας, δέκα βασι- 24
λεῖς στήσονται, καὶ ὁ ἄλλος βασιλεὺς μετὰ τούτους στήσεται, καὶ
αὐτὸς διοίσει κακοῖς ὑπὲρ τοὺς πρώτους καὶ τρεῖς βασιλεῖς ταπει-
νώσει· [25] καὶ ῥήματα εἰς τὸν ὕψιστον λαλήσει καὶ τοὺς ἁγίους τοῦ 25
ὑψίστου κατατρίψει καὶ προσδέξεται ἀλλοιῶσαι καιροὺς καὶ νόμον,
καὶ παραδοθήσεται πάντα εἰς τὰς χεῖρας αὐτοῦ ἕως καιροῦ καὶ
καιρῶν καὶ ἕως ἡμίσους καιροῦ. [26] καὶ ἡ κρίσις καθίσεται καὶ τὴν 26
ἐξουσίαν ἀπολοῦσι καὶ βουλεύσονται μιᾶναι καὶ ἀπολέσαι ἕως τέ-
λους. [27] καὶ τὴν βασιλείαν καὶ τὴν ἐξουσίαν καὶ τὴν μεγαλειότητα 27

23 την γην] + ※και καταφαγεται πασαν την γην 88 Sy

---

θ′ τῶν κεράτων αὐτοῦ τῶν δέκα τῶν ἐν τῇ κεφαλῇ αὐτοῦ καὶ τοῦ
ἑτέρου τοῦ ἀναβάντος καὶ ἐκτινάξαντος τῶν προτέρων τρία, κέρας
ἐκεῖνο, ᾧ οἱ ὀφθαλμοὶ καὶ στόμα λαλοῦν μεγάλα καὶ ἡ ὅρασις
αὐτοῦ μείζων τῶν λοιπῶν. [21] ἐθεώρουν καὶ τὸ κέρας ἐκεῖνο ἐποίει 21
πόλεμον μετὰ τῶν ἁγίων καὶ ἴσχυσεν πρὸς αὐτούς, [22] ἕως οὗ ἦλθεν 22
ὁ παλαιὸς τῶν ἡμερῶν καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου, καὶ
ὁ καιρὸς ἔφθασεν καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. [23] καὶ εἶπεν 23
Τὸ θηρίον τὸ τέταρτον, βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ, ἥτις
ὑπερέξει πάσας τὰς βασιλείας καὶ καταφάγεται πᾶσαν τὴν γῆν καὶ
συμπατήσει αὐτὴν καὶ κατακόψει. [24] καὶ τὰ δέκα κέρατα αὐτοῦ, 24
δέκα βασιλεῖς ἀναστήσονται, καὶ ὀπίσω αὐτῶν ἀναστήσεται ἕτερος,
ὃς ὑπεροίσει κακοῖς πάντας τοὺς ἔμπροσθεν, καὶ τρεῖς βασιλεῖς τα-
πεινώσει· [25] καὶ λόγους πρὸς τὸν ὕψιστον λαλήσει καὶ τοὺς ἁγίους 25
ὑψίστου παλαιώσει καὶ ὑπονοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νό-
μον, καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ ἕως καιροῦ καὶ καιρῶν καὶ
ἥμισυ καιροῦ. [26] καὶ τὸ κριτήριον καθίσει καὶ τὴν ἀρχὴν μεταστή- 26
σουσιν τοῦ ἀφανίσαι καὶ τοῦ ἀπολέσαι ἕως τέλους. [27] καὶ ἡ βασι- 27

20 προτερων τρια κερας εκεινο] πρωτων (sic) B†, κερ. εκ. > Qpau. | μειζων] ν > AQ† || 21 ισχυσεν] σ ult. > A || 22 εως ου] ου > A†: cf. 8 11 | των > Bpau. || 24 αυτων] -του A† | ετερος > B*† || 25 καιρου και bis scr. A† | και ult.] + γε B† || 26 καθισει] εκαθισεν B: ex 10

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/919 UNIVERSITÄT LEIPZIG